# Significatio in Ezechielem

## ΣΗΜΑΣΙΑ ΕΙΣ ΤΟΝ ΙΕΖΕΚΙΗΛ.

Νομίζομεν τὸν ἄνθρωπον εἶναι τὸ λογικόν· τὸν λέοντα, τὸ θυμικόν· τὸν μόσχον, τὸ ἐπιθυμητικόν· τὸν ἀετὸν, τὴν συνείδησιν ἐπικειμένην τοῖς λοι ποῖς, ὅ ἐστι πνεῦμα παρὰ Παύλου λεγόμενον τοῦ ἀνθρώπου· τὸν ἐπικαθεζόμενον, τὸν Πατέρα· τὸ δὲ πνεῦμα, τὸ Πνεῦμα τὸ ἅγιον· τὴν δὲ νεφέλην, τὸν Υἱόν· ἀπὸ βοῤῥᾶ δὲ, ἀπὸ τῆς εἰσαγωγικῆς, ἐπὶ τὰ κρείττονα ὁδεύοντα. Φέγγος, διὰ τὸ φωτίζεσθαι· πῦρ δὲ, διὴ τὴν παίδευσιν· τὸ ἐξαστράπτον, ὅτι ἐκ διαλειμμάτων αἱ κολάσεις· τὸ δὲ κεκαθαρμένον τῆς ψυχῆς, ἤλεκτρον λέγεται· σημειωτέον, ὅτι τὸ τοῦ ἀνθρώπου ὁμοίωμα προηγεῖται. Πᾶσα δὲ ἡ λογικὴ φύσις πτερουμένη ἐστὶ πτεροῖς πνευματικοῖς. Συ σφίγγουσι δὲ ἀλλήλους, διὰ τὸ κοινωνικὸν καὶ τὴν ὁμόνοιαν. Χεὶρ δὲ ἀνθρώπου ὑποκάτω, διὰ τὸ εὔ τακτον. Τὸ δὲ στερέωμα, διὰ τὸ στεῤῥόν. Ἶριν δὲ, διὰ τὴν εἰρήνην καὶ διαθήκην τὴν πρὸς ἡμᾶς ὑπὸ τοῦ Θεοῦ. Σάπφειρος, τὰ ἀπόῤῥητα· κρύσταλλος, τὸ καθαρὸν καὶ ἄδολον. Ὀρθοὶ οἱ πόδες, διὰ τὸ βάσιμον καὶ μόνιμον. Πῦρ ἐν μέσῳ συστρεφόμενον, οὐχὶ χαῦνον καὶ διαῤῥέον. Φέγγος δὲ, διὰ τὸ τέλος τῆς ἀναπαύσεως. Τὸ ἴχνος δὲ τῶν ποδῶν, ὡς μὲν ὁ Σύμμαχος, μόσχου, διὰ τὸ γεωπόνον· ὡς δὲ Ἀκύλας, στρογγύλον, διὰ τὸ κάλλιστον τῶν σχημάτων. Τὸ εἶδος δὲ τῶν τροχῶν, ὡς μὲν ὁ Σύμμαχος, ὑακίν 36.668 θινον. Ἀνέκαμπτον δὲ, ὡς εἶδος τοῦ βεζὲκ, ὡσεὶ δυσοδοῦντα, τὸ ὅλον τοῦ φωτὸς μὴ ἔχοντα, ἀλλ' ὡς εἶδος τοῦ βεζὲκ, ὅ ἐστι τῆς ἀστραπῆς. Ἐὰν μὲν ἀπαρτίσῃ τὸ ὁμοίωμα τοῦ ἀνθρώπου, κυριεύει τῶν ἄλλων ἀνθρώπων· εἰ δὲ μὴ, τὸ ἐναντίον συμβαίνει. Ἔχει τι ὁ λέων, τὸ γαῦρον, τὸ εὔτονον, ἵνα καλῶς αὐτῷ χρησώμεθα. Τὸν δὲ μόσχον, ἵνα δεόντως ἐπιθυμῶμεν. Ἡσαΐας λέγει· Ἁγιάσεις αὐτὸν ἐν πυρὶ καιομένῳ. Ἀπὸ ὀσφύος, καὶ ἄνω, ἤλεκτρον· τὰ γὰρ ἄνω οὐ δεῖται κολάσεως. Ἀπὸ ὀσφύος, καὶ κάτω, πῦρ, τὰ γενέσεως πράγματα· ταῦτα δὲ κολάσεως δεῖται. Τὸ Πνεῦμα πρῶτον ἐξαίρει καθαῖρον· εἶτα τοὺς μὴ καθαρθέντας ἐκ τούτου τὸ πῦρ καθαίρει. Τὸ δὲ φέγγος, χρηστὸν τέλος. Τοιαῦται γὰρ αἱ κολάσεις. Εἷς ὅρος δημιουργοῦ, τὸ τὴν ὑποκειμένην ὕλην, ὡς βούλεται, καὶ ὡς ἐνδέχεται τῇ τέχνῃ ποιεῖν· ὥσπερ ὁ Θεὸς ἀγαθὸς καὶ σοφὸς, ἀλλ' οὐχ ὡς ἡμεῖς, οὕτως καὶ δημιουργός· ἐπειδὴ ἁπλοῦς καὶ ἀσύνθετος· ἡμεῖς γὰρ σύνθετοι ὑπάρχοντες, οὐχ οὕτως ἐσμέν. Ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς, τοὺς σοφοὺς τὰ τέκνα λέγων. Καὶ πάλιν αὐτὸς αὐτοῖς ὁ Σωτήρ φησιν ἐν τῷ· Σοφώτεροί εἰσιν οἱ υἱοὶ τοῦ αἰῶνος τούτου, ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς, ἐν τῇ γενεᾷ αὐτῶν· υἱοὺς φωτὸς λέγων τοὺς πεφωτισμένους τῇ γνώσει. Καὶ, Ἦμεν φύσει τέκνα ὀργῆς, οὐ τὸ κατὰ φύσιν λέγων, ἀλλ' ὅτι ἐν ἀληθείᾳ ὑπεύθυνοι ὀργῆς τυγχάνουσιν οἱ ἁμαρτάνοντες. Καὶ περὶ τοῦ Ἰούδα γέγραπται, ὅτι Υἱὸς ἀπωλείας· ἀπωλείας δὲ υἱὸν αὐτὸν εἶπε, τῷ τὰ τῆς ἀπωλείας πεπραχέναι. Ἡσαΐας ἔτεσι τρισὶ γυμνὸς καὶ ἀνυποδέστατος διήγαγε. Τὸν Μωσέα φασὶ μετὰ τὸ ἀκοῦσαι τῶν χρησμῶν τοῦ Θεοῦ, μηκέτι ἅψασθαι τῆς γυναικὸς, μηδὲ τεκνοποιῆσαι. Βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ, φασὶν, ὅτι ὁ ναὸς ὁ ἐν Ἱεροσολύμοις οἰκοδομηθήσεται ὕστερον, ὡς τοῦ Ἀντιχρίστου πιστευθησομένου ὑπὸ Ἰουδαίων Χριστοῦ εἶναι, καὶ καθεσθησομένου, καὶ δόξοντος ὅλης τῆς οἰκουμένης εἶναι βασιλέως. Ἥξει δὲ ἐπ' ἐρημίᾳ τοῦ κόσμου· βδέλυγμα γάρ ἐστι τῆς ἐρημώσεως. Λέγον 36.669 ται οἱ τρεῖς παῖδες, οἱ ἐν Βαβυλῶνι, καὶ κατὰ τὴν κάμινον, παῖδες εἶναι τοῦ Ἐζεκίου, καὶ Ἱεζεκιὴλ δοῦλος γεγενῆσθαι πρότερον Ἱερεμίου.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.